γίνεται τὰ μὲν βόρεια, τὰ δὲ νότια, τὰ δ' ἄλλα, τούτων παρεκβάσεις· οὕτω καὶ τῶν πολιτειῶν, δύο, δῆμος, καὶ ὀλιγαρχία. τὴν γὰρ ἀριστοκρατίαν τῆς ὀλιγαρχίας εἶδος τιθέασιν, ὡς οὖσαν ὀλιγαρχίαν τινά· καὶ τὴν καλουμένην πολιτείαν, δημοκρατίαν· ὥσπερ ἐν τοῖς πνεύμασι, τὸν μὲν ζέφυρον, τοῦ βορέου, τοῦ δὲ νότου, τὸν εὖρον. ὁμοίως δ' ἔχει καὶ περὶ τὰς ἁρμονίας, ὥς φασί τινες. καὶ γὰρ ἐκεῖ τίθενται εἴδη δύο, τὴν δωριστί, καὶ τὴν φρυγιστί· τὰ δὲ ἄλλα συντάγματα, τὰ μὲν, Δώρια· τὰ δὲ, Φρύγια καλοῦσι. μάλιστα μὲν οὖν εἰώθασιν οὕτως ὑπολαμβάνειν περὶ τῶν πολιτειῶν· ἀληθέστερον δὲ καὶ βέλτιον ὡς ἡμεῖς διειλόμεθα, δυοῖν ἢ μιᾶς οὔσης τῆς καλῶς συνεστηκυίας, τὰς ἄλλας εἶναι παρεκβάσεις· τὰς μὲν, τῆς εὖ κεκραμένης ἁρμονίας· τὰς δὲ, τῆς ἀρίστης πολιτείας· ὀλιγαρχικὰς μὲν, τὰς συντονωτέρας καὶ δεσποτικωτέρας· τὰς δ' ἀνειμένας καὶ μαλακὰς, δημοτικάς.

Κεφάλαιον δ'.

Οὐ δεῖ δὲ τιθέναι δημοκρατίαν, καθάπερ εἰώθασί τινες νῦν ἁπλῶς οὕτως, ὅπου κύριον τὸ πλῆθος· καὶ γὰρ ἐν ταῖς ὀλιγαρχίαις καὶ πανταχοῦ, τὸ πλέον μέρος κύριον· οὐδ' ὀλιγαρχίαν, ὅπου κύριοι τῆς πολιτείας ὀλίγοι. εἰ γὰρ εἴησαν οἱ πάντες χίλιοι καὶ τριακόσιοι, καὶ τούτων οἱ χίλιοι πλούσιοι, καὶ μὴ μεταδιδοῖεν ἀρχῆς τοῖς τριακοσίοις καὶ πένησιν, ἐλευθέροις οὖσι, καὶ τἆλλα ὁμοίοις, οὐδεὶς ἂν φαίη δημοκρατεῖσθαι τούτους. ὁμοίως δὲ καὶ εἰ πένητες μὲν ὀλίγοι εἶεν, κρείττους δὲ τῶν εὐπόρων, πλειόνων ὄντων, οὐδεὶς ἂν ὀλιγαρχίαν προσαγορεύσειεν· οὐδὲ τὴν τοιαύτην, εἰ τοῖς ἄλλοις οὖσι πλουσίοις μὴ μετείη τῶν τιμῶν. μᾶλλον τοίνυν λεκτέον, ὅτι δῆμος μέν ἐστιν, ὅταν οἱ ἐλεύθεροι κύριοι ὦσιν· ὀλιγαρχία δ', ὅταν οἱ πλούσιοι. ἀλλὰ συμβαίνει, τοὺς μὲν πολλοὺς εἶναι, τοὺς δ' ὀλίγους· ἐλεύθεροι μὲν γὰρ πολλοί, πλούσιοι δ' ὀλίγοι. καὶ γὰρ ἂν εἰ κατὰ μέγεθος διενέμοντο τὰς ἀρχάς, ὥσπερ ἐν Αἰθιοπίᾳ φασί τινες, ἢ κατὰ κάλλος, ὀλιγαρχία ἦν· ὀλίγον γὰρ τὸ πλῆθος, καὶ τὸ τῶν καλῶν, καὶ τὸ τῶν μεγάλων. οὐ μὴν ἀλλ' οὐδὲ τούτοις μόνον ἱκανῶς ἔχει διωρίσθαι τὰς πολιτείας ταύτας· ἀλλ' ἐπεὶ πλείονα μόρια καὶ τοῦ δήμου, καὶ τῆς ὀλιγαρχίας εἰσίν, ἔτι διαληπτέον, ὡς οὔτ', ἂν εἰ ἐλεύθεροι, ὀλίγοι ὄντες, πλειόνων καὶ μὴ ἐλευθέρων ἄρχωσι, δη-

A dici ſolet, alios quidem eſſe boreales, alios auſtrales, cęteros autem ventos horum eſſe exceſſus: ſic etiam reſpublicas duas eſſe popularem ſcilicet, & paucorum potentiam. nam optimates ſpeciem eſſe paucorum potentium poſuere, & eam quæ vocatur reſpublica, dicebãt eſſe popularem: quemadmodum de ventis Zephyrum quidem borealem. Eurum autem auſtralem. Eodémque modo in harmoniis, vt quidã tradunt. nam & in illis poſuerunt duas B ſpecies, vnam Doricam, alteram Phrygiam, cæteras verò omnes, vel ad Doricã, vel ad Phrygiam referri. maximè quidem igitur conſueuerunt, de rebuſpublicis ſic exiſtimare. Sed certè verius ac melius eſt, vt nos diuiſimus, duarum vel vnius rectè conſtitutæ cæteras eſſe tranſgreſſiones, & aliquas eſſe probè temperatæ harmoniæ, C alias verò ipſius optimę reipublicę, ad paucorum verò potentiam inclinant quæ duriores ſunt ac magis violentæ: quæ verò remiſſæ & molles, ad popularem ſtatum.

CAPVT IIII.

Neque verò popularis ita ſimpliciter ponenda, vt quidam ponunt, vbi multitudo dominatur. nam & in paucorum potentiis, & vbique maior pars præua- D let. Etenim ſi eſſent vniuerſi mille trecenti, & horum mille forent opulenti, neque partem gubernationis darent trecentis illis pauperibus ingenuis, ac in cæteris paribus, nemo certè diceret hanc eſſe popularem. Eodémque modo, ſi pauci quidem inopes in ciuitate plus poſſent quàm multi & opulenti, nec honores illis impartirentur, nemo vtique diceret hanc eſſe ſpeciem, quæ appellatur paucorum po- E tentium. Potius itaque dicendum fuerit popularẽ quidẽ eſſe, cùm penes ingenuos homines eſt gubernatio: paucorum autem potentium, cùm penes opulentos. ſed contingit vt alteri multi ſint, alteri pauci. plerique enim ingenui ſunt, rari verò diuites. Etenim ſi magiſtratus, honoréſque publici ſecundum magnitudinem diſtribuerentur, vt in Æthiopia quidam tradunt fieri, vel ſecundum pulchritudinem, pau- F corum eſſet gubernatio, cùm parua ſit multitudo magnorum & formoſorum. Veruntamen non iſto modo ſat eſt reſpublicas iſtas determinaſſe. ſed cùm plures ſint partes & multitudinis & paucorum potentium, adhuc reſumendum eſt, vt neque ingenui pauci exiſtentes pluribus, neq. multitudo ingenuis dominetur,